πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης·
ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς
πνεῦμα δυνάμεως· καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώ
σει πᾶσαν τὴν γῆν ἀνομία· καὶ ἡ κακοπραγία περιτρέψει
θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μά
θετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες
πλήθους· καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ κυρίου
ἡ κράτησις ὑμῖν· καὶ ἡ δυναστεία παρὰ ὑψίστου:—

Εἰς τὸν στίχον στιχηρὰ ἦχος πλ. δ'. πρὸς Χαίροις ἀσκητικῶν ἀληθῶς:—

Κρουνοὺς δεξάμενοι σοφοί· τοῦ παρακλήτου τῶν θαυμάτων τὰ ἰά
ματα· ἀπλοῦτε τοῖς νοσήμασι· καὶ σώζετε χωρὶς ὀδυνῶν· καὶ
παθῶν τὴν φλόγα καὶ τὸν καύσωνα· ἀδελφοὶ ἰσάγγελοι· καὶ τὰ
πανευπρεπεῖς ἅγιοι· καὶ θεάνδρου δεσπότου· ἀληθοῦς μεθοδεύσαι· καὶ
πρὸς ἐν θεὸν ἀδελφοὶ ζωὴν μεταγαγόντες· οἱ τῶν μοιδερίζοντες· ὑ
μῶν ἐπισκέψει ποθῶ καὶ πίστει τῇ θείας φιλανθρωπίας αἰτούμενοι·
τυχεῖν σωτηρίας πρεσβείαις· ὧν ὁ κόσμος δεήθητι τὸ μέγα ἔλεος:

Λίαν τὴν τῶν χαρίτων σοφοί· ὑπὸ Χριστοῦ καταπλουτισθέντες
ἀνάργυροι· ἀντὶ μισθοῦ τῶν ἰαμάτων· ταῖς ἱκεσίαις ἡμῶν·
καὶ θαυμάτων πᾶσιν ἐπιλάμπετε· καὶ φῶς δεξιᾶς·
ἡ θεραπείας παρέχεσθε· καὶ τὸν ὄχλον τῶν ψυχῶν ἀπελαύνετε·